**ἀλλοιόστροφος**

Hephaest. 69. 10 sqq. ἀνομοιόστροφα δέ (*scil.* εἴδη) ἐστιν, ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν ἢ κατὰ ἐφύμνιον ἢ κατὰ ἐπῳδὸν ἢ κατ᾽ ἄλλο τι ἀναφώνημα. διαιρεῖται δὲ ἤτοι εἰς δύο ἢ εἰς πλείω· ἐὰν μὲν οὖν εἰς δύο διαιρεθῇ, καλεῖται ἑτερόστροφον, ἐὰν δὲ εἰς πλείονα, ἀλλοιόστροφον.

Schol. in Aesch. *Ag.* 1072b (I, p. 185. 15 sqq. Smith) ἡμέτερον + ὀτοτοτοῖ] αἱ περίοδοι αὗται πᾶσαι καλοῦνται ὡς εἴρηται ἀλλοιόστροφοι. εἰσὶ δὲ τῶν μὲν στροφῶν καὶ ἀντιστροφῶν τὰ κῶλα ἀντισπαστικὰ ἐν οἷς καὶ πεντασύλλαβοι πόδες εὑρίσκονται. εἰσὶ δὲ ἐν ταῖς τοιαύταις στροφαῖς καὶ στίχοι ἰαμβικοὶ τρίμετροι, τῶν δὲ συστημάτων πάντες ἰαμβικοὶ τρίμετροι. ἐπὶ ταῖς ἀποθέσεσι τῶν μὲν στροφῶν παράγραφος καὶ διπλαῖ συνήθως, τῶν δὲ ἀντιστροφῶν παράγραφος μόνη, ὡσαύτως καὶ ἐπὶ τῶν συστημάτων.

Schol. in Aesch. *Ag.* 1448b (I, p. 201. 32 sqq. Smith) ἡμέτερον + φεῦ τίς ἄν] αἱ συστηματικαὶ αὗται πᾶσαι περίοδοι καλοῦνται ἀλλοιόστροφοι. εἰσὶ δὲ τὰ μὲν τῶν στροφῶν κῶλα χοριαμβικά, τὰ δὲ τῶν συστημάτων τῶν μεταξὺ ἀναπαιστικά. ἐπὶ ταῖς ἀποθέσεσιν πάσαις παράγραφος, ἐπὶ δὲ τῶι τέλει διπλαῖ δύο ἔξω νενευκυῖαι συνήθως.

Schol. in Aesch. *Eum.* 916b (I, p. 217. 21 sqq. Smith) ἡμέτερα + δέξομαι Παλλάδος] τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀλλοιόστροφα. εἰσὶ δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα ιαʹ τὰ πλείω τροχαικά, εἰ βούλει. ἐπὶ τῶι τέλει παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

Schol. in Aesch. *Pers.* 249 (p. 42. 20 sqq. Massa Positano) ἡμέτερον. † ὦ γῆς ἁπάσης] σύστημα προκαταστατικὸν καὶ οἷον προῳδὸς τῶν ἑξῆς ἀλλοιοστρόφων συστημάτων, στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ζʹ. ἐπὶ τῷ τέλει παράγραφος.

Schol. in Aesch. *Pers.* 256 (p. 42. 28 sqq. Massa Positano) ἡμέτερον. † ἄνι᾽ ἄνια] τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀλλοιόστροφα· ἔστι δὴ τῆς παρούσης στροφῆς τὰ κῶλα δʹ· τὸ αʹ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου ἑξασυλλάβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον ἢ χορείου· τὸ βʹ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον καταληκτικόν, ἐξ ἰωνικοῦ καὶ βακχείου· τὸ γʹ ἀντισπαστικὸν καθαρὸν ἡμιόλιον· τὸ δʹ ἰωνικὸν ἡμιόλιον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος καὶ τροχαίου. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως.

Schol. in Aesch. *Pers.* 908 (p. 66. 25 sqq. Massa Positano) † ἰώ ἰώ] τὰ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα, ὡς εἴρηται· εἰσὶ δὲ τοῦ παρόντος συστήματος τὰ κῶλα ιʹ· τὸ πρῶτον ἰαμβικὸν μονόμετρον, τὰ δὲ λοιπὰ ἀναπαιστικά, ὧν τὰ μὲν ζʹ δίμετρα ἀκατάληκτα, τὸ ηʹ ὅμοιον μονόμετρον, τὸ δὲ θʹ ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος.

Schol. in Aesch. *Prom.* 128 (p. 11 Smyth) ἡμέτερα † μηδὲν φοβηθείς]: τὰ τοιαῦτα εἴδη καλεῖται ἀνομοιόστροφα. ἀνομοιόστροφα δέ ἐστιν, ὡς Ἡφαιστίων φησίν (p. 69.10 sqq.), ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν. καὶ διαιρεῖται εἰς δύο ἢ εἰς πλείω· εἰ μὲν οὖν

εἰς δύο διαιρεῖται, καλεῖται ἑτερόστροφον· εἰ δὲ εἰς πλείω, ἀλλοιόστροφον. εἰσὶν οὖν τὰ παρόντα ἀλλοιόστροφα. τῆς πρώτης οὖν ταυτησὶ στροφῆς, τὰ κῶλα ιβʹ. τὸ αʹ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ βτερον ἰαμβικὸν πενθημιμερές. τὸ γʹ ὅμοιον ἑφθημιμερές, τοῦ πρώτου ποδὸς ἀναπαίστου. τὸ δʹ ἰωνικὸν ἀπ᾿ ἐλάσσονος τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ παίωνος τρίτου καὶ σπονδείου. τὸ εʹ ὅμοιον τῷ αʹ, ἐκ διιάμβου καὶ χοριάμβου διὰ τὴν ἀδιάφορον. τὸ ϛʹ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου παίωνος τρίτου ἀντὶ ἰωνικοῦ καὶ τροχαίου. τὸ ζʹ ὅμοιον τῷ εʹ. τὸ ηʹ ὅμοιον τῷ βτέρῳ. τὸ θʹ ἰωνικὸν ἀπ᾿ ἐλάττονος δίμετρον καταληκ<τικόν>, ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ καὶ <τῆς> συζυγίας καταληκτικῆς ἤτοι κρητικοῦ, ὅς ἐστιν ἀμφίμακρος· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ αʹ ποδὸς ἀναπαίστου. τὸ ιʹ, εἰ καὶ δοκεῖ ἐνταῦθα ἰαμβικὸν εἶναι ἑφθημιμερές, ἀλλ᾿ ὡς ἔστιν <ἰδεῖν ἐκ> τοῦ κώλου τῆς ἀντιστροφῆς, χορια<μβικόν> ἐστι δίμετρον καταληκτικόν· ... γὰρ ἔχει ἐπίτριτον <τρίτον>, τὸν δὲ βʹ ... ἐπίτριτον. τὸ ιαʹ <ἰωνικὸν ἡμι>όλιον, ἐξ ἰωνικοῦ <ἀπὸ μείζονος καὶ> τροχαίου· εἰ δὲ βούλει, ἀναπαιστικὸν πενθημιμερές. τὸ ιβʹ ἰαμβικὸν πενθημιμερές. ἐπὶ τῷ τέλει παράγρα<φος καὶ δύο διπλαῖ>, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου ἔξω νενευκυῖα, ἡ δὲ κατὰ τὸ τέλος, ἔσω, δηλοῦσαι <ὡς τέλος ἔχει τὰ ἀνταποδιδόμενα>

Schol. in Aesch. *sept*. 203-207e (II 2, p. 101. 27 sqq. Smith) ἡμέτερον + ὦ φίλον Οἰδίπου] τὰ τοιαῦτα εἴδη καλεῖται ὡς εἴρηται, ἀλλοιόστροφα· εἰσὶ δὲ καὶ κατὰ σχέσιν. τῆς παρούσης οὖν στροφῆς τὰ κῶλα ζʹ. τὸ αʹ χοριαμβικὸν τρίμετρον ἀκατάληκτον κατ᾿ ἀντιπάθειαν μίξεως ἐκ χοριάμβου, ἀντισπάστου <καὶ> διιάμβου. τὸ βʹ ὅμοιον <δί>μετρον ἀκατάληκτον <ἐκ> χοριάμβου καὶ διιάμβου. <τὸ τρίτον> ἡμιόλιον ἐκ χοριάμβου πεντασυλλάβου καὶ ἰάμβου. τὸ δʹ <δίμετρον ὅμοιον τῷ> βʹ ἐκ χοριάμβου καὶ διιάμβου πεντασυλλάβου. τὸ εʹ ὅμοιον <τῷ γʹ ἐκ δι>τροχαίου καὶ ἰάμβου. τὸ ϛʹ ὅμοιον τῷ βʹ κατὰ πάντα. τὸ ζʹ ὅμοιον δίμετρον καταληκτικὸν ἐκ χοριάμβου πεντασυλλάβου καὶ ἀναπαίστου. ἐπὶ τέλει παράγραφος καὶ διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου ἔξω νενευκυῖα, ἡ δὲ κατὰ τὸ τέλος ἔσω.

Schol. in Aesch. *sept*. 686-688c (II 2, p. 297. 26 sqq. Smith) ἡμέτερα + ἐκμέμονας] τὰ τοιαῦτα εἴδη καλεῖται ὡς εἴρηται ἀλλοιόστροφα. εἰσὶ δὲ τὰ παρόντα κατὰ σχέσιν· τῆς στροφῆς οὖν ταύτης τὰ κῶλα γʹ. τὸ πρῶτον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον ἐκ χοριάμβου, ἐπιτρίτου τετάρτου καὶ διιάμβου. τὸ βʹ ὅμοιον ἐκ χοριάμβου, ἀντισπάστου καὶ διιάμβου. τὸ γʹ ὅμοιον δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ κατὰ τὸ σύνηθες.

Schol. in Aesch. *sept*. 875-878c (II 2, p. 368. 1 sqq. Smith) + ἰὼ ἰὼ δύσφρονες] τὰ παρόντα εἴδη εἰσὶν ὡς εἴρηται ἀλλοιόστροφα. εἰσὶν γοῦν τῆς παρούσης στροφῆς τὰ κῶλα δʹ. τὸ αʹ περίοδος καταληκτικὴ ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαικῆς καταληκτικῆς. τὸ βʹ ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ γʹ ὅμοιον τῷ αʹ. τὸ δʹ τροχαϊκὸν ἰθυφαλλικόν· ἔχει δέ, εἰ βούλει, συνίζησιν, ἢ τὸν πρῶτον πόδα δάκτυλον. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου ἔξω νενευκυῖα, ἡ δὲ κατὰ τὸ τέλος ἐντός.

Schol. in Aesch. *sept*. 998-1004c (II 2, p. 403. 2 sqq. Smith) ἡμέτερον· + ἰὼ ἰώ] σύστημα ἕτερον ἀμοιβαῖον κατὰ περικοπὴν ἐν ἐκθέσει κώλων ιβʹ, ὧν τὸ μὲν πρῶτον ἑκάστου προσώπου ἰαμβικὴ βάσις, ἤτοι ἰαμβικὸν μονόμετρον, τὸ δὲ βʹ τροχαϊκὸν ἑφθημιμερὲς εὐριπίδειον· ὅτι τινὰ τῶν κώλων οὐ μόνον διὰ μέσου καὶ χορείους ἔχει, ἀλλὰ καὶ ἰάμβους. καὶ ἔστι δῆλον ἐκ τούτων ὅτι τὸ τροχαϊκὸν μέτρον μετὰ τῶν ἄλλων καὶ ἴαμβον δέχεται, εἰ καί τισιν οὐ δοκεῖ τοῦτο. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἀμφότεραι ἔξω νενευκυῖαι, ἡ μὲν κατὰ τὴν ἀρχὴν τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσαι ὡς τέλος ἔσχε τὰ συστηματικὰ καὶ ἀλλοιόστροφα εἴδη.

Schol. in Soph. *Ai*. 348 (p. 436b. 38 sqq. Stephanus) ἰώ μοι φίλοι] τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται· εἰσὶ δὲ καὶ κατὰ σχέσιν ... ἐπὶ τῷ τέλει συνήθως παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

Schol. in Soph. *El*. 1232 (p. 443b. 5 sqq. Stephanus) ἰὼ γοναί] τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται ... εἶτα παράγραφος καὶ ἔσω νενευκυῖα διπλῆ, διὰ τὴν ἀνταπόδοσιν, ἐπὶ τῷ τέλει τοῦ τελευταίου κώλου, ἐν δὲ τῇ ἀρχῇ ἡ ἔξω νενευκυῖα.

Schol. Byz. in Soph. *Oed. tyr.* 649 (p. 274. 15 sqq. Longo) πιθοῦ θελήσας] πιθοῦ θελήσας· τὰ παρόντα εἴδη καὶ αἱ περίοδοι καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται. ἡ παροῦσα οὖν στροφὴ κώλων ἐστὶ ςʹ. τὸ αʹ περίοδος, ἤγουν δύο ἴαμβοι καὶ δύο τροχαῖοι. τὸ βʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν. τὸ γʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δʹ περίοδος καταληκτικὴ ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαικῆς καταληκτικῆς. τὸ εʹ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον βραχυκατάληκτον, ἤτοι ἡμιόλιον ἐκ τροχαικῆς συζυγίας ἤτοι ἐπιτρίτου βʹ, καὶ ἰωνικοῦ ἡμίσεος. τὸ ςʹ ἰαμβικὸν μονόμετρον. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

Schol. Byz. in Soph. *Oed. tyr.* 1307 (p. 281. 18 sqq. Longo) αἶ αἶ αἶ αἶ] τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀλλοιόστροφα. ἔστι δὲ τὸ παρὸν σύστημα προσῳδικὸν κώλων ςʹ. τὸ αʹ ἀναπαιστικὸν μονόμετρον. τὸ βʹ καὶ τὸ γʹ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα. τὸ δʹ καὶ εʹ ὅμοια δίμετρα βραχυκατάληκτα. τὸ ςʹ ἴαμβος τρίμετρος ἀκατάληκτος. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

Schol. in Eur. *Or*. 1248-1250 (p. 18. 10 sqq. Dindorf) τὰ ἑξῆς ταῦτα εἴδη καλεῖται καί, ὡς εἴρηται, ἀλλοιόστροφα· εἰσὶ δὲ κατὰ σχέσιν ... ἐπὶ τῷ τέλει παράγραφος καὶ δύο διπλαῖ διὰ τὴν ἀνταπόδοσιν, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

Schol. in Aristoph. *pac*. 943a. 1 sqq. (p. 143 sq. Holwerda) Tr ἐπείγετε LhAld νῦν Lh] τὰ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα. εἰσὶ γοῦν τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ἀναπαιστικὰ δέκα ἐπιμεμιγμένα προκελευσματικοῖς LhAld (α). τὸ αʹ δίμετρον βραχυκατάληκτον· τὸ βʹ καὶ γʹ καὶ δʹ ἀναπαιστικὴ βάσις· τὸ εʹ ὅμοιον τῷ αʹ· καὶ τὸ ςʹ ὅμοιον· τὸ ζʹ, τὸ ηʹ καὶ θʹ δίμετρα ἀκατάληκτα· τὸ δὲ ιʹ δίμετρον καταληκτικὸν ἑφθημιμερὲς παροιμιακόν. τοῦ δὲ συστήματος στίχοι ἰαμβικοὶ ἀκατάληκτοι ζʹ. Lh τῆς δευτέρας στροφῆς τὰ κῶλα τρία· LhAld τὸ αʹ ἰαμβικὸν τρίμετρον καταληκτικόν· τὰ δὲ βʹ ἀναπαιστικά, τὸ αʹ δίμετρον ἀκατάληκτον, τὸ δὲ βʹ καταληκτικόν. Lh ὁ ἑξῆς τοῦ ὑποκριτοῦ ἰαμβικὸς τε-

τράμετρος καταληκτικός. τῆς τρίτης στροφῆς τὰ κῶλα ἀναπαιστικὰ τέσσαρα, LhAld τὰ μὲν γʹ δίμετρα ἀκατάληκτα, τὸ δὲ δʹ καταληκτικόν. Lh οἱ ἑξῆς αὖθις τοῦ ὑποκριτοῦ ἰαμβικοὶ τετράμετροι καταληκτικοί. τῆς δὲ τετάρτης στροφῆς τὰ κῶλα ἰωνικὰ ἀπὸ μείζονος ϛʹ ἐπιμεμιγμένα παίωσι καὶ κρητικοῖς, LhAld ὧν τὸ αʹ, τὸ βʹ, τὸ γʹ καὶ τὸ δʹ δίμετρα καταληκτικά· τὸ εʹ δίμετρον ἀκατάληκτον· τὸ δὲ ϛʹ ἡμιόλιον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. Lh

Schol. in Aristoph. *ran*. 1264 (p. 308a. 53 sqq. Dübner) τὰ δὲ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα, ὡς Ἡφαιστίων (p. 69. 10 sqq.) φησίν· ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν. ἔστι δὲ τῆς μὲν ᾠδῆς ταύτης τὰ κῶλα ἀναπαιστικὰ εʹ. ὧν τὸ πρῶτον τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν, ὃ καλεῖται Αἰολικὸν, διὰ τὸ ἴαμβον ἔχειν τὸν πρῶτον πόδα. τὸ δεύτερον καὶ τὸ εʹ δίμετρα ὑπερκατάληκτα. τὸ γʹ πενθημιμερές. τὸ τέταρτον ἑφθημιμερὲς, ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος. τοῦ δὲ συστήματος τὰ κῶλα ὅμοια πέντε, πλὴν τοῦ τετάρτου τῷ δευτέρῳ τῆς ᾠδῆς ὁμοίου, ἑφθημιμερῆ. ἐπὶ τῷ τέλει παράγραφος. τῆς δὲ ἑξῆς ᾠδῆς τὰ κῶλα ἕξ. τὸ πρῶτον δακτυλικὸν ἑφθημιμερές. τὸ βʹ ἀναπαιστικὸν ἑφθημιμερές. τὸ γʹ καὶ τὸ ϛʹ ὡς τὸ βʹ τῆς ἄνω ᾠδῆς. τὸ δ΄ δακτυλικὸν τετράμετρον. ἔστι δὲ κῶλον ἐκ χοροῦ, ὡς ἀνέγνων ἐν Ἀγαμέμνονι δράματι Αἰσχύλου. τὸ εʹ ὅμοιον δίμετρον. ἔστι δὲ ἡμιτελὲς ἐνταῦθα. τὸ γὰρ τέλειόν ἐστιν· (*Ag.* 104 sq.) ‘αἴσιον ἀνδρῶν ἐκτελέων’, ὅπερ ἑφθημιμερές ἐστιν. ἐπὶ τῷ τέλει παράγραφος. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἕξ. ἐπὶ τῷ τέλει παράγραφος. ὁ μέντοι ἕκτος στίχος ἔν τισιν οὐ κεῖται· οἷον (v. 1283), ‘ἴθι δὴ πέραινε’. [*B.M.*]